ΙΩΝ. τοῖς τοῦ θεοῦ κοσμούμεθ᾽, ᾧ δουλεύομεν.
ΚΡ. οὐδ᾽ ἦξας εἰς ἔρευναν ἐξευρεῖν γονάς;
ΙΩΝ. ἔχω γὰρ οὐδέν, ὦ γύναι, τεκμήριον.
ΚΡ. φεῦ·
πέπονθέ τις σῇ μητρὶ ταὔτ᾽ ἄλλη γυνή.
ΙΩΝ. τίς; εἰ πόνου μοι ξυλλάβοι, χαίροιμεν ἄν.
ΚΡ. ἧς οὕνεκ᾽ ἦλθον δεῦρο πρὶν πόσιν μολεῖν.
ΙΩΝ. ποῖόν τι χρῄζουσ᾽; ὡς ὑπουργήσω, γύναι.
ΚΡ. μάντευμα κρυπτὸν δεομένη Φοίβου μαθεῖν.
ΙΩΝ. λέγοις ἄν· ἡμεῖς τἄλλα προξενήσομεν.
ΚΡ. ἄκουε δὴ τὸν μῦθον· ἀλλ᾽ αἰδούμεθα.
ΙΩΝ. οὔ τἄρα πράξεις οὐδέν· ἀργὸς ἡ θεός.
ΚΡ. Φοίβῳ μιγῆναί φησί τις φίλων ἐμῶν.
ΙΩΝ. Φοίβῳ γυνὴ γεγῶσα; μὴ λέγ᾽, ὦ ξένη.
ΚΡ. καὶ παῖδά γ᾽ ἔτεκε τῷ θεῷ λάθρᾳ πατρός.
ΙΩΝ. οὐκ ἔστιν· ἀνδρὸς ἀδικίαν αἰσχύνεται.
ΚΡ. οὔ φησιν αὐτή· καὶ πέπονθεν ἄθλια.
ΙΩΝ. τί χρῆμα δράσασ᾽, εἰ θεῷ συνεζύγη;
ΚΡ. τὸν παῖδ᾽ ὃν ἔτεκεν ἐξέθηκε δωμάτων.
ΙΩΝ. ὁ δ᾽ ἐκτεθεὶς παῖς ποῦ ᾽στιν; εἰσορᾷ φάος;
ΚΡ. οὐκ οἶδεν οὐδείς. ταῦτα καὶ μαντεύομαι.
ΙΩΝ. εἰ δ᾽ οὐκέτ᾽ ἔστι, τίνι τρόπῳ διεφθάρη;
ΚΡ. θῆράς σφε τὸν δύστηνον ἐλπίζει κτανεῖν.
ΙΩΝ. ποίῳ τόδ᾽ ἔγνω χρωμένη τεκμηρίῳ;
ΚΡ. ἐλθοῦσ᾽ ἵν᾽ αὐτὸν ἐξέθηκ᾽, οὐχ ηὗρ᾽ ἔτι.
ΙΩΝ. ἦν δὲ σταλαγμὸς ἐν στίβῳ τις αἵματος;
ΚΡ. οὔ φησι. καίτοι πόλλ᾽ ἐπεστράφη πέδον.
ΙΩΝ. χρόνος δὲ τίς τῷ παιδὶ διαπεπραγμένῳ;
ΚΡ. σοὶ ταὐτὸν ἥβης, εἴπερ ἦν, εἶχ᾽ ἂν μέτρον.
ΙΩΝ. ἀδικεῖ νιν ὁ θεός· ἡ τεκοῦσα δ᾽ ἀθλία.
ΚΡ. οὔκουν ἔτ᾽ ἄλλον ὕστερον τίκτει γόνον.
ΙΩΝ. τί δ᾽, εἰ λάθρᾳ νιν Φοῖβος ἐκτρέφει λαβών;

---

330. *ταὔτ᾽*] Matthiae, *ταῦτ᾽* libri. 331. *τίς; εἰ πόνου μοι ξυλλάβοι*] Yxemius, *τίς εἶπον ἔμοι ξυλάβε B τίς εἶπον εἴ μοι ξυλλάβῃ C*
335. *δέ τ᾽ ἄλλα B τ᾽ ἄλλα C* 342. *οὔ*] Dobraeus, *ο* libri.
344. *ἔγνω*] Brodaeus, *ἔγνως* libri.